# ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΚΑΙ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΣΤΕΦΑΝΟΝ ΤΟΝ ΔΙΑΚΟΝΟΝ

## ΣΤΑΣΙΣ Α΄.

Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε, Πρωτομάρτυς Χριστοῦ, Ἀρχιδιάκονε Ἀπόστολε Στέφανε καὶ τιμῶμέν σου τὴν κάραν τὴν σεπτήν.

Καὶ τὰ ἑξῆς.

Μακαρίζομέν σε, Πρωτομάρτυς σοφέ, ὃς ὑπὲρ Χριστοῦ τὸ αἷμα ἐξέχεας, καὶ ἐστέφθης διαδήματι λαμπρῷ.

Οὐρανὸς ἠνοίχθη, τῇ ἀθλήσει τῇ σῇ, καὶ κατεῖδες τὸν Σωτῆρά σου Στέφανε καθεζόμενον Πατρὸς ἐκ δεξιῶν.

Σὺ ἐν συνεδρίῳ, ἤλεγξας ἀσεβεῖς, καὶ ὡς ἄγγελος Πρωτόαθλε ἔλαμψας, καὶ ἐξέπληξας τοὺς πάντας σῇ μορφῇ.

Ὑπὸ Χριστοκτόνων, ἐκ τῆς κόμης σύρεις, πανταχόθεν τε τοῖς λίθοις βαλόμενος, ἐσυγχώρεις ἐκ καρδίας τοὺς ἐχθρούς.

Τῶν χηρῶν προστάτης, καὶ πατὴρ ὀρφανῶν, τῶν πενήτων χορηγὸς συμπαθέστατος σὺ ἐγένου καὶ τῶν ξένων ὁδηγός.

Ποῖος ἄλλος δόξης, ἠξιώθη ὡς σύ, Πρωτομάρτυς τοῦ κληθῆναι ὦ Στέφανε. Ὢ μεγίστης δωρεᾶς τῆς ἐκ Θεοῦ!

Τίς ἐν τοῖς Ἁγίοις, ἠξιώθη ποτέ, Πρωτομάρτυρος τοῦ τίτλου ὦ Στέφανε, εἰμὴ μόνος σὺ καὶ Θέκλα ἐν τῇ γῇ.

Μεσημβρίας πόλις, δεῦρο δράμε τανῦν, ἑορτάσαι τὴν σεβάσμιον κοίμησιν, τοῦ ἐνδόξου Πρωτομάρτυρος φαιδρῶς.

Πάντας τοὺς τιμῶντας, σοῦ τοὺς ἄθλους σοφὲ σκέπε φρούρει διαφύλαττε πάντοτε, παῤῥησίᾳ σου μεγίστῃ πρὸς Χριστόν.

Κάραν τοῦ Στεφάνου, τῆς Παρθένου ναῷ, σεπτὴν σχόντες ἰατρεῖον λυτρούμεθα, ἐκ παντοίων νοσημάτων καὶ παθῶν.

Μεσημβρίας πλήθη, τῷ ναῷ τῆς Ἁγνῆς, ἀθροισθέντα Πρωτομάρτυς προσφέρουσι, μύρα δάκρυά σοι δῶρα καὶ ᾠδάς.

Πλήρης χάριτός τε, καὶ δυνάμεως ὢν, πλεῖστα τέρατα ἐποίει ὁ Στέφανος· καὶ σημεῖα καθ᾽ ἑκάστην τῷ λαῷ.

Τῶν πενήτων ὤφθης, ἱλαρὸς χορηγὸς τῶν γερόντων βοηθὸς συμπαθέστατος, καὶ τῶν νέων ὁδηγὸς καὶ χαλινός.

**Σ**υντρίβεις τοῖς λίθοις, καὶ αἱμόφυρτος ὤν, θεὶς τὰ γόνατα Κυρίῳ ἀνέκραζες· οἱ τὸ πνεῦμα ἀνατίθημι Θεῷ.

**Τ**οῦ Στεφάνου δέχου, τὰς εὐχὰς ὁ Θεός, καὶ παντοίων νόσων πάντας ἀπάλλαξον, ἐξαιρέτως δὲ καρκίνου τοῦ δεινοῦ.

**Χ**αίρει τῆς Ἑλλάδος, ὁ λαὸς καὶ φαιδρῶς, μνήμην ἄγει σοῦ τὴν ἔνδοξον Στέφανε, μεγαλύνων τὸν Σωτῆρα καὶ Θεόν.

**Ἄ**φες αὐτοῖς Πάτερ, οὐ γὰρ οἴδασι, νῦν, τί ποιοῦσι, ὁ Χριστὸς πάσχων ἔκραζε, συγχωρῶν πάντας ἐχθροὺς ἐν τῷ Σταυρῷ.

**Ἁ**μαρτίαν ταύτην, σὺ μὴ στήσῃς αὐτοῖς, καὶ ὁ Στέφανος ὁμοίως ἐκραύγαζε, ἐκμιμούμενος τὸ ἔλεος Θεοῦ.

**Κ**ύκλῳ παρεστῶτες, πρὸ λειψάνου τοῦ σοῦ, δυσωποῦμέν σε Πρωτόαθλε πρόφθασον, καὶ διάσωσον ἡμᾶς ἐκ συμφορῶν.

Δόξα. Τριαδικόν.

**Ἡ** ὑπὸ Μαρτύρων, ὑμνούμενη Τριάς, ταῖς δεήσεσι Στεφάνου τοῦ Μάρτυρος, τὰ ἐλέη σου κατάπεμψον ἡμῖν.

Καὶ νῦν. Θεοτοκίον.

**Θ**εοτόκε Μῆτερ, τῶν Μαρτύρων ἰσχύς, σὺ ἐνίσχυσόν με πράττειν τὸ θέλημα, τοῦ Υἱοῦ σου καὶ Θεοῦ μου ἐν παντί.

Καὶ πάλιν τὸ πρῶτον.

**Μ**ακαρίζομέν σε, Πρωτομάρτυς Χριστοῦ, Ἀρχιδιάκονε Ἀπόστολε Στέφανε, καὶ τιμῶμέν σου τὴν Καραν τὴν σεπτην.

## ΣΤΑΣΙΣ Β΄.

Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.

**Ἄ**ξιόν ἐστι, σὲ ἐν Μάρτυσι Στέφανε πρῶτον, στέφειν ἐγκωμίων τοῖς στέμμασι, ὃν στεφάνοις ἐστεφάνωσε Θεός.

Καὶ τὰ ἑξῆς.

**Ἄ**ξιόν ἐστι, σὲ τὸν πρῶτον ἐν τοῖς Ἀθλοφόροις, στέφειν ἐγκωμίοις ὦ Στέφανε, ὃν στεφάνοις ἐστεφάνωσε Θεός.

**Ἄ**ξιόν ἐστι, σὲ τὸν πρώτιστον ἐν Διακόνοις, καὶ ἐν Ἀθληταῖς περιβόητον, μεγαλύνειν ἀεὶ Στέφανε σεπτῶς.

**Χ**αῖρέ μοι κλεινέ, Πρωτομάρτυς τῶν Μαρτύρων κλέος, χαῖρε Διακόνων τὸ καύχημα, Ἐκκλησίας τε ἡ δόξα καὶ τιμή.

**Ἦ**λθε Στέφανε, ἐξ Ἀσίας σοῦ τὸ θεῖον σκῆνος, ὦ Ἑλλὰς ἀγάλλου καὶ χόρευε, ἀνεδείχθης μακαρία ὦ Πατρίς.

Χαῖρε Στέφανε, Πρωτομάρτυς Μεσημβρίας δόξα, χαῖρε Ἰουδαίας τὸ βλάστημα, καὶ Ἑλλάδος πάσης φύλαξ καὶ φρουρός.

Θεῖον θησαυρόν, κεκτημένη νῦν ἡ Μεσημβρία, τὴν σεπτήν σου Κάραν Ἀπόστολε, καθ᾽ ἑκάστην ἐπαντλεῖ τὰς δωρεάς.

Σῶσον τοὺς πιστῶς, ἐκτελοῦντάς σου τὴν θείαν μνήμην, καὶ ἀσπαζομένους σου Στέφανε, τῶν λειψάνων σου τὴν θήκην εὐλαβῶς.

Χαίρει ὁ χορός, Διακόνων καὶ Μαρτύρων Μάρτυς, ἐν ἐπουρανίοις σκηνώμασι, κεκτημένος πρωτοστάτην σε λαμπρόν.

Νῦν ἐν οὐρανοῖς, αὐλιζόμενος σὺν τοῖς συνάθλοις, Εὔπλῳ διακόνῳ τῷ Μάρτυρι, Θεοδώρῳ τε μνημόνευε ἡμῶν.

Φρούρησον σοφέ, ὦ Πρωτόαθλε στεφανηφόρε, πόλιν τὴν φυλάττουσαν Κάραν σου, ὡς πολύτιμον καὶ μέγαν θησαυρόν.

Ἄγει νῦν σεπτῶς, Μεσημβρία σοῦ τὴν θείαν μνήμην, Κάραν σου τὴν πάντιμον ἔχουσα, ἀναπέμπουσά τε δόξαν τῷ Θεῷ.

Τεῖχος ἀῤῥαγές, σὲ τυχοῦσα ἡμετέρα πόλις, οὐ φοβεῖται τῶν δεινῶν τὴν ἐπέλευσιν, Πρωτομάρτυς, ἀλλὰ ἄγει ἀσφαλῶς.

Δῶρον ὁ Θεός, ὡς κειμήλιον ἐν τῇ Ἑλλάδι, δέδωκε σὴν Κάραν τὴν πάντιμον, δι᾽ ἧς πάντων ἐκλυτροῦται τῶν δεινῶν.

Ὕψωσον σοφέ, τῷ Δεσπότῃ σου Θεῷ τὰς χεῖρας, καὶ θερμῶς αὐτὸν ἐκδυσώπησον, ὑπὲρ πάντων τῶν τιμώντων σε πιστῶς.

Δόξα. Τριαδικόν.

Δόξα σοι Τριάς, ἣν χοροὶ Μαρτύρων ἀνυμνοῦσι, ταῖς πρεσβείαις τούτων ἀπάλλαξον, ἐκ παντοίων ἡμᾶς νόσων καὶ κακῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Βασιλίς, τῶν Μαρτύρων καὶ Ἁγίων πάντων, σὺν τῷ Πρωτομάρτυρι σοῦ Υἱοῦ, ἐκ κινδύνων ἀεὶ φύλαττε ἡμᾶς.

Καὶ πάλιν τὸ πρῶτον.

Ἄξιόν ἐστι, σὲ ἐν Μάρτυσι Στέφανε πρῶτον, στέφειν ἐγκωμίων τοῖς στέμμασι, ὃν στεφάνοις ἐστεφάνωσε Θεός.

## ΣΤΑΣΙΣ Γ΄.

Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Στέφανε Πρωτομάρτυς.

Καὶ τὰ ἑξῆς.

Αἱ γενεαὶ πᾶσαι, μεγαλύνομέν σε, Πρωτόαθλε παμμάκαρ.

**Λ**ειψάνου σου τὴν θήκην, πίστει προσκυνοῦντες, ἁγιασμὸν ἀντλοῦμεν.

**Τ**ῶν Μαρτύρων δῆμος, καὶ τῶν Διακόνων, τὴν μνήμην σου γεραίρει.

**Ἡ** λάρναξ σῶν λειψάνων, βρύει καθ᾿ ἡμέραν, ἰάσεις τοῖς νοσοῦσι.

**Κ**άραν σου τὴν θείαν, πλουτοῦσα Μεσημβρία, καυχᾶται ἐν Κυρίῳ.

**Δ**ιάκονος ὑπάρχων, ταῖς χρείαις διηκόνεις, πτωχῶν τε καὶ ἀπόρων.

**Κ**ορωνὶς ἐδείχθης, Μαρτύρων καὶ λαμπρότης, καὶ Ἀθλητῶν ἀκρότης.

**Ἔ**χομέν σε Μάρτυς, πρέσβυν πρὸς τὸν Κτίστην, καὶ ἔνθερμον προστάτην.

**Ψ**άλλομεν κυκλοῦντες, λειψάνου σου τὴν θήκην, ᾠδάς τε καὶ δεήσεις.

**Μ**εσημβρία χαίρει, ἔχουσα ἐν κόλποις, λειψάνων σου τὴν θήκην.

**Μ**όνος σὺ παμμάκαρ, ἐκλήθης Πρωτομάρτυς, ἐν τοῖς Ἁγίοις πᾶσι.

**Ὢ** χάριτος καὶ δόξης, ἧς σὺ κατηξιώθης, πᾶσι τοῖς ἀνθρώποις.

**Δ**ιάκονος ὑπάρχων, τοῖς πᾶσι διηκόνεις, ἐν Ἱεροσολύμοις.

**Χ**ορὸς τῶν Ἀθλοφόρων, καὶ Διακόνων Μάρτυς, σῇ ἑορτῇ συγχαίρει.

**Ὁ** τῶν Ἀποστόλων, σὺ Μάρτυς ἐξελέγης, διακονεῖν τραπέζαις.

**Σ**ὺν ἕξι διακόνοις, ἐνδύματι καὶ ἄρτῳ, ἀπόρων ἐμερίμνας.

**Π**ροστάτης ὀρφανῶν σύ, χηρῶν τε καὶ πασχόντων, Στέφανε ἀνεδείχθης.

**Τ**ῶν Ἀθλοφόρων δόξα, Στέφανε ὑπάρχεις, ὑπὲρ Χριστοῦ ἀθλήσας.

**Ἔ**χων παῤῥησίαν, πρὸς τὸν Χριστὸν μεγίστην, ὑπὲρ ἡμῶν δυσώπει.

**Μ**ὴ στήσῃς αὐτοῖς ταύτην, τὴν ἁμαρτίαν κράζων, Μάρτυς ἐτελειώθης.

**Ὑ**ψῶν χεῖράς σου Μάρτυς, εὐλόγησον τοὺς κύκλῳ, τῆς Κάρας σου ἑστῶτας.

Δόξα. Τριαδικόν.

**Π**ατὴρ Υἱὲ καὶ Πνεῦμα, Στεφάνου ἱκεσίαις, εἰρήνευσον τὸν κόσμον.

Καὶ νῦν. Θεοτοκίον.

**Π**αρθένε τὸν Υἱόν σου, σὺν τῷ κλεινῷ Στεφάνῳ, ὑπὲρ ἡμῶν δυσώπει.

Καὶ πάλιν τὸ πρῶτον.

**Α**ἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Στέφανε Πρωτομάρτυς.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε,
δίδαξόν με τὸν Στέφανον ὑμνῆσαι.

Τῶν Ἀγγέλων ὁ δῆμος, ἐξεπλάγη ὁρῶν σου, τὴν μορφὴν ὡς ἀγγέλου, ἀγαθότητα Χριστοῦ, Μάρτυς δὲ μιμουμένου, ὅτε Στέφανε τοῖς λίθοις ἐβάλεσο, καὶ ὑπὲρ ἐχθρῶν σου Θεῷ προσηύχεσο.

Εὐλογητὸς εἶ, Κύριε,
δίδαξόν με Διάκονόν σου ᾄσαι.

Νικάνωρ, Παρμενᾶς καὶ Φίλιππος, Πρόχορος Νικόλαος καὶ Τίμων, τοῦ Στεφάνου συνεργοὶ Διάκονοι Θεῷ δόξα χαίροντες ἐβόων· ὅτι ἐξ ἡμῶν Πρωτομάρτυρα ἔδειξας, Ἐκκλησίας δόξαν ἡμῶν τὲ καύχημα.

Εὐλογητὸς εἶ, Κύριε,
δίδαξόν με Πρωτόαθλον δόξασαι.

Γόνυ ἔκλινε, ἡ Παρθένος κλαίουσα, δεομένη ὑπὲρ τοῦ Στεφάνου καὶ γυναῖκες σὺν αὐτῇ θρηνοῦσαι ἀνεβόων· Ὦ Σιὼν ἀγάλλου χόρευε· Ἐκκλησία γάρ, τοῦ Χριστοῦ τὸν πρῶτον Μάρτυρα ἐκτήσατο.*

Εὐλογητὸς εἶ, Κύριε,
δίδαξόν με Ἀπόστολόν σου μέλψαι.

Ἀποστόλων χορεία, Διακόνων τε ἅμα, τί θρηνεῖτε τελευτῇ τῇ τοῦ Στεφάνου. Ἀκούσατε αὐτοῦ· Καθορῶ τὸν Σωτῆρα, δεξιᾷ Πατρὸς βοῶντος καὶ ἥσθητε, καὶ παντὶ τῷ κόσμῳ τοῦτο κηρύξατε.

Δόξα. Τριαδικόν.

Τὴν Ἁγίαν Τριάδα, προσκυνήσωμεν πάντες, τὸν Πατέρα καὶ Πνεῦμα, καὶ Υἱὸν ὅν περ εἶδεν, οὐρανῷ ἀνοιγέντι, Στέφανος μεθ᾽ οὗ ἐκβοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Μαριὰμ τὴν Παρθένον, μεγαλύνομεν πάντες, Ζωοδότην τεκοῦσαν, Ἀρχηγὸν τῶν Μαρτύρων, ὡς στεφάνοις τιμίοις, Στέφανον Πρωταθλητὴν αὐτοῦ ἔστεψε, σὺν Μητρὶ ἀεὶ πρεσβεύοντα καὶ ᾄδοντα.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα· δόξα σοι ὁ Θεός. (ἐκ γ΄)

---

* Εἰς παλαιὸν χειρόγραφον ἀναφέρεται, ὅτι συμφώνως πρὸς τὴν παράδοσιν, κατὰ τὸν λιθοβολισμὸν τοῦ Στεφάνου ἡ Παναγία προσηύχετο γνυκλινὴς καὶ δακρύουσα.

# ΜΑΚΑΡΙΣΤΗΡΙΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΚΑΙ ΠΡΩΤΟΝ ΔΙΑΚΟΝΟΝ ΣΤΕΦΑΝΟΝ

ΣΤΑΣΙΣ Γ΄.

Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.

**Α**ἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, ὦ πρωτομάρτυς θεῖε.

**Ἄ**γγελος καθωράθης, ἐπίγειος ἐφάνης, ἐκλάμψας τῷ προσώπῳ.

**Ἀ**ρχὴ Μαρτύρων μάκαρ, ἀρχὴ καὶ διακόνων, σὺ Στέφανος ἐγένου. **Τ**οὺς οὐρανοὺς σὺ εἶδες, ἠνεωγμένους μάκαρ, καὶ τοῦ Θεοῦ τὴν δόξαν. **Ἐ**στὼς ἐν τῷ σταδίῳ, ἐκ δεξιῶν σὺ εἶδας, Πατρὸς Υἱὸν ἑστῶτα.

**Π**ρῶτον ἐκομίσω, στέφανον μαρτυρίου, Στέφανε θεηγόρε.

**Τ**ῶν λίθων τὰς νιφάδας, ὑπέφερες γενναίως, ὑπὲρ Χριστοῦ ἀγάπης. **Ὑ**πὲρ τῶν λιθαζόντων, προσηύχου πρωτομάρτυς, μιμούμενος Δεσπότην. **Σ**τέφανε θεόπτα, ἱκέτευε ἀπαύστως, ὑπὲρ τῶν σὲ ὑμνούντων.

**Ἀ**πόστολος καὶ Μάρτυς, διάκονος καὶ πρῶτος, ὦ Στέφανε ἐγένου.

**Τ**ὴν μνήμην σου τελοῦμεν, Στέφανε ἐν ὕμνοις, Χριστὸν δοξολογοῦντες.

**Ἐ**ξέχεας τὸ αἷμα, πρῶτον διὰ ἀγάπην, Χριστοῦ ὦ πρωτομάρτυς.

**Τ**ὴν ἑορτὴν τελοῦντας, φύλαττε ἐν ειρήνῃ, Στέφανε πρωτομάρτυς. **Σ**υνῆψαι τὴν σὴν μνήμην, Χριστὸς τοῖς γενεθλίοις, Αὐτοῦ ὦ πρωτομάρτυς. **Ὥ**σπερ ἀδάμας Μάρτυς, ὦ Στέφανε ὑπέστης, βαλλόμενος τοῖς λίθοις.

**Ὦ** πρωτομάρτυς σκέπε, ἡμᾶς τοὺς σὲ τιμῶντας, παντοίας ἐπηρείας.

Δόξα. Τριαδικόν.

**Τ**ρισήλιε Θεέ μου, λιταῖς τοῦ σοῦ Στεφάνου, ῥῦσαι πάντας γεένης.

Καὶ νῦν. Θεοτοκίον.

**Π**αρθενομῆτορ Κόρη, μετὰ τοῦ σοῦ Στεφάνου, πρέσβευε τῷ Ὑιῷ Σου.

Καὶ πάλιν τὸ πρῶτον.

**Α**ἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, ὦ πρωτομάρτυς θεῖε.